| | |
|---|---|
| My soul has a desire and longing for the courts of the Lord; | נִכְסְפָ֨ה וְגַם־כָּלְתָ֬ה ׀ נַפְשִׁ֗י<br>לְחַצְר֫וֹת יְהֹוָ֥ה |
| my heart and my flesh rejoice in the living God. | לִבִּ֥י וּבְשָׂרִ֑י יְ֝רַנְּנ֗וּ אֶ֣ל<br>אֵֽל־חָֽי׃ |
| 2 The sparrow has found her a house | גַּם־צִפּ֨וֹר ׀ מָ֪צְאָה בַ֡יִת |
| and the swallow a nest where she may lay her young; * | וּדְר֤וֹר ׀ קֵ֥ן לָהּ֮<br>אֲשֶׁר־שָׁ֥תָה אֶפְרֹ֫חֶ֥יהָ |
| by the side of your altars, O Lord of hosts, | אֶת־מִ֭זְבְּחוֹתֶיךָ יְהֹוָ֣ה<br>צְבָא֑וֹת |
| my King and my God. | מַ֝לְכִּ֗י וֵאלֹהָֽי׃ |
| 3 Happy are they who dwell in your house! * | אַ֭שְׁרֵי יוֹשְׁבֵ֣י בֵיתֶ֑ךָ |
| they will always be praising you. | ע֝֗וֹד יְֽהַלְל֥וּךָ סֶֽלָה׃ |
| 4 Happy are the people whose strength is in you! * | אַשְׁרֵ֣י אָ֭דָם עֽוֹז־ל֥וֹ בָ֑ךְ |
| whose hearts are set on the pilgrims’ way. | מְ֝סִלּ֗וֹת בִּלְבָבָֽם׃ |
| 5 Those who go through the desolate valley will find it a place of springs, * | עֹבְרֵ֤י ׀ בְּעֵ֣מֶק הַ֭בָּכָא<br>מַעְיָ֣ן יְשִׁית֑וּהוּ |
| for the early rains have covered it with pools of water. | גַּם־בְּ֝רָכ֗וֹת יַעְטֶ֥ה מוֹרֶֽה׃ |
| 6 They will climb from height to height, * | יֵ֭לְכוּ מֵחַ֣יִל אֶל־חָ֑יִל |
| and the God of gods will reveal himself in Zion. | יֵרָאֶ֖ה אֶל־אֱלֹהִ֣ים בְּצִיּֽוֹן׃ |
| 7 Lord God of hosts, hear my prayer; * | יְהֹוָ֬ה אֱלֹהִ֣ים צְ֭בָאוֹת<br>שִׁמְעָ֣ה תְפִלָּתִ֑י |
| hearken, O God of Jacob. | הַאֲזִ֨ינָה אֱלֹהֵ֖י יַעֲקֹ֣ב סֶֽלָה׃ |
| 8 Behold our defender, O God; * | מָ֭גִנֵּנוּ רְאֵ֣ה אֱלֹהִ֑ים |
| and look upon the face of your Anointed. | וְ֝הַבֵּ֗ט פְּנֵ֣י מְשִׁיחֶֽךָ׃ |

## Ephesians 1:3-6, 15-19a

3 Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας
ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ, 4 καθὼς
ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους
κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, 5 προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς
αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, 6 εἰς ἔπαινον δόξης τῆς χάριτος
αὐτοῦ ἧς ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ. ....
15 Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ’ ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ Ἰησοῦ καὶ τὴν
ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους 16 οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν μνείαν
ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, 17 ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
ὁ πατὴρ τῆς δόξης, δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ,
18 πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας [ὑμῶν] εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν
ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς
ἁγίοις, 19 καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς
πιστεύοντας *κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ.*

## Matthew 2:13-15, 19-23

13 Ἀναχωρησάντων δὲ αὐτῶν ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ’ ὄναρ τῷ Ἰωσὴφ
λέγων, Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον
καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι
αὐτό. 14 ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ
ἀνεχώρησεν εἰς Αἴγυπτον, 15 καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου· ἵνα πληρωθῇ τὸ
ῥηθὲν ὑπὸ κυρίου διὰ τοῦ προφήτου λέγοντος,

**Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.** ....

19 Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ’ ὄναρ τῷ
Ἰωσὴφ ἐν Αἰγύπτῳ 20 λέγων, Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ
καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου.
21 ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ εἰσῆλθεν εἰς γῆν
Ἰσραήλ.
22 ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰουδαίας ἀντὶ τοῦ πατρὸς αὐτοῦ
Ἡρῴδου ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ’ ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη
τῆς Γαλιλαίας, 23 καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ· ὅπως
πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος κληθήσεται.